ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν, ἀλλ᾽ αὐτοὶ κερδανοῦσιν. ὁ δὲ μειδιάσας ‘ἀγαθά’ φησίν ‘ἀγγέλλετε· νικᾶν γὰρ ἀνδρῶν οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς.’ καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν στρατιωτῶν ἔλεγον ‘ὦ βασιλεῦ, θάρρει καὶ μὴ φοβοῦ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸν γὰρ ἡμῶν τὸν γράσον οὐχ ὑπομενοῦσι.’

13. *Παρατασσομένου* δὲ τοῦ στρατεύματος ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον ἐξέωσε τῆς D φάλαγγος ὡς ἄχρηστον, ὃς ‘παρασκευάζεται νῦν, ὅτε χρῆσθαι δεῖ τοῖς ὅπλοις.’

14. *Ἐπιστολὴν* δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων αἰτίας ἀπορρήτους κατ᾽ Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος ὥσπερ εἰώθει συναναγινώσκοντος, οὐκ ἐκώλυσεν· ὡς δ᾽ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν.

15. *Ἐν* δ᾽ Ἄμμωνος ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς ‘οὐδέν γε’ ἔφη ‘θαυμαστόν, πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται τοὺς ἀρίστους.’

16. *Τοξεύματι* δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ E